UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Maroni. 2.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

## ΤΟΥ ΙΣΙΔΩΡΟΥ ΤΟΥ πηλουσιώτου τῶν Ἐπιστολῶν τμῆμα τρίτον.

Ζωσίμῳ πρεσβυτέρῳ. α.

Εἰ οὔτε γεέννης, οὔτε βασιλείας σοι λόγος οὐδείς, ἀλλά γε κἂν τὰς παρούσας δίκαιος ἂν εἴης ἀποσείσασθαι κωμῳδίας.

Μάρωνι. β.

Οὐκ ἀμφίδοξον, ἀλλ' ἔνδοξον ὄντα, καὶ γνώριμον, καὶ ἀληθῆ, καὶ παρὰ πάντων τῶν σοφῶν καὶ τῶν ἱερῶν γραφῶν ὁμολογούμενον, καὶ πάντως ἐσόμενον τῆς κρίσεως λόγον, ἐν στέρνοις δίκαιος ἂν εἴης ἔχειν, καὶ παύσασθαι ὧν κρίσιν μὴ εἶναι νομίζων πράττεις, ἵνα καὶ σαυτὸν κολάσεως, καὶ τοὺς ὁρῶντας σκανδάλου, καὶ ἡμᾶς λύπης, καὶ τοὺς ῥαθύμους ἀπογνώσεως ἀπαλλάξῃς.

Ἀμμωνίῳ. γ.

Ἐν καιρῷ πολέμου οὐ μόνον τὸν συντοξεύοντα, ἀλλὰ καὶ τὸν ἐν τοῖς ἐναντίοις μὲν τετάχθαι δοκοῦντα, μὴ κατατοξεύοντα δέ, φίλον τρόπον τινὰ ἡγητέον. διὸ καὶ ὁ θεῖος χρησμὸς βοᾷ, ὁ μὴ ὢν καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστίν.

Εὐτονίῳ διακόνῳ. δ.

Ἐπειδὴ καὶ τοὺς κομιδῆ προσέχοντας τῇ ἀναγνώσει τὸν νοῦν τοῦτο διέλαθεν, οὐκ ἂν σε αἰτιασαίμην, ὡς μὴ ἀναγινώσκοντα. ἀλλὰ συντόμως φράσαιμι, ὥσπερ ὁ ἀπόστολος ἀστέρας καλεῖ τοὺς διὰ τῆς ἀρίστης πολιτείας τοὺς θεωμένους φωτίζοντας γράφων, ἐν οἷς ἐστὲ ὡς φωστῆρες ἐν κόσμῳ. οὕτω καὶ ὁ Δανιὴλ ἀστέρας καλεῖ τοὺς λαμπροὺς μὲν δι' εὐσέβειαν, ἀρίστους δὲ διὰ πολιτείαν. φησὶ γάρ, καὶ ἔπεσεν ἐπὶ τὴν

## ISIDORI PELVSIOTÆ Epiſtolarum liber tertius.

*Zoſimo Presbytero.* 1.

SI nec gehennæ, nec cæleſtis regni cura vlla te afficit, nec ſaltem te operam dare æquũ fuerit, vt præſentis vitæ dicteria propulſes.

*Maroni.* 2.

Non dubium, ſed clarum atque cognitum, & verum, ab omnibúſque viris eruditis, & ſacris ſcripturis confeſſum, atque omnino futurũ extremi iudicij dogma pectore conditum habere ſanè debeas, ab iiſque abſtinere, quæ, dum iudicium minimè fore exiſtimas, committis: vt hac ratione, & teipſum pœna, & eos, qui te intuentur, offenſione, & nos mœrore, & languentes ac torpidos deſperatione liberes.

*Ammonio.* 3.

Bello graſſante, non modò eum, qui ſimul ſagittas mittit, ſed etiam eum, qui quamuis ab hoſtium partibus ſtare videatur, tamen ſagittas contrà minimè mittit, in amicorum numero quodammodo habere oportet. Quocirca etiam diuinũ oraculum clamat, Qui non eſt contra vos, pro vobis eſt.

*Eutonio Diacono.* 4.

Quandoquidem eos etiam qui Scripturarum lectioni animum valde additũ habent, haud te accuſabo, qui in earum lectione minimè verſaris: verùm breuiter hoc dixerim, quod quemadmodum Apoſtolus ſtellas eos appellat, qui per optimã viuendi rationem ſpectantium animos illuminant, his verbis vtens, inter quos eſtis vt luminaria in mundo: ſic etiam Daniel ſtellas eos vocat, qui & pietate clari ſunt, & vitam optimè conſtituunt. Ait enim: